**Ancient Greek Poetry Selections**

**First Name:**

**Last Name:**

**Ancient Greek HS2**

## Homer

## Odyssey 1.1-25

ἄνδρα μοι ἔννεπε, μοῦσα, πολύτροπον, ὃς μάλα πολλὰ
πλάγχθη, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν·
πολλῶν δ᾽ ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω,
πολλὰ δ᾽ ὅ γ᾽ ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμόν,
ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων.
ἀλλ᾽ οὐδ᾽ ὧς ἑτάρους ἐρρύσατο, ἱέμενός περ·
αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο,
νήπιοι, οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο
ἤσθιον· αὐτὰρ ὁ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ.
τῶν ἁμόθεν γε, θεά, θύγατερ Διός, εἰπὲ καὶ ἡμῖν.
ἔνθ᾽ ἄλλοι μὲν πάντες, ὅσοι φύγον αἰπὺν ὄλεθρον,
οἴκοι ἔσαν, πόλεμόν τε πεφευγότες ἠδὲ θάλασσαν·
τὸν δ᾽ οἶον νόστου κεχρημένον ἠδὲ γυναικὸς
νύμφη πότνι᾽ ἔρυκε Καλυψὼ δῖα θεάων
ἐν σπέσσι γλαφυροῖσι, λιλαιομένη πόσιν εἶναι.
ἀλλ᾽ ὅτε δὴ ἔτος ἦλθε περιπλομένων ἐνιαυτῶν,
τῷ οἱ ἐπεκλώσαντο θεοὶ οἶκόνδε νέεσθαι
εἰς Ἰθάκην, οὐδ᾽ ἔνθα πεφυγμένος ἦεν ἀέθλων
καὶ μετὰ οἷσι φίλοισι. θεοὶ δ᾽ ἐλέαιρον ἅπαντες
νόσφι Ποσειδάωνος· ὁ δ᾽ ἀσπερχὲς μενέαινεν
ἀντιθέῳ Ὀδυσῆι πάρος ἣν γαῖαν ἱκέσθαι.
ἀλλ᾽ ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ᾽ ἐόντας,
Αἰθίοπας τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν,
οἱ μὲν δυσομένου Ὑπερίονος οἱ δ᾽ ἀνιόντος,
ἀντιόων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης.

**Ancient Greek Poetry Selections**

**First Name:**

**Last Name:**

**Ancient Greek HS2**

**Homer**

**Iliad 16.816-42**

Πάτροκλος δὲ θεοῦ πληγῇ καὶ δουρὶ δαμασθεὶς 816
ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ᾽ ἀλεείνων. 817
Ἕκτωρ δ᾽ ὡς εἶδεν Πατροκλῆα μεγάθυμον 818
ἂψ ἀναχαζόμενον βεβλημένον ὀξέϊ χαλκῷ, 819
ἀγχίμολόν ῥά οἱ ἦλθε κατὰ στίχας, οὗτα δὲ δουρὶ 820
νείατον ἐς κενεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε· 821
δούπησεν δὲ πεσών, μέγα δ᾽ ἤκαχε λαὸν Ἀχαιῶν· 822
ὡς δ᾽ ὅτε σῦν ἀκάμαντα λέων ἐβιήσατο χάρμῃ, 823
ὥ τ᾽ ὄρεος κορυφῇσι μέγα φρονέοντε μάχεσθον 824
πίδακος ἀμφ᾽ ὀλίγης· ἐθέλουσι δὲ πιέμεν ἄμφω· 825
πολλὰ δέ τ᾽ ἀσθμαίνοντα λέων ἐδάμασσε βίηφιν· 826
ὣς πολέας πεφνόντα Μενοιτίου ἄλκιμον υἱὸν 827
Ἕκτωρ Πριαμίδης σχεδὸν ἔγχεϊ θυμὸν ἀπηύρα, 828
καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντα προσηύδα· 829
Πάτροκλ᾽ ἦ που ἔφησθα πόλιν κεραϊξέμεν ἁμήν, 830
Τρωϊάδας δὲ γυναῖκας ἐλεύθερον ἦμαρ ἀπούρας 831
ἄξειν ἐν νήεσσι φίλην ἐς πατρίδα γαῖαν 832
νήπιε· τάων δὲ πρόσθ᾽ Ἕκτορος ὠκέες ἵπποι 833
ποσσὶν ὀρωρέχαται πολεμίζειν· ἔγχεϊ δ᾽ αὐτὸς 834
Τρωσὶ φιλοπτολέμοισι μεταπρέπω, ὅ σφιν ἀμύνω 835
ἦμαρ ἀναγκαῖον· σὲ δέ τ᾽ ἐνθάδε γῦπες ἔδονται. 836
ἆ δείλ᾽, οὐδέ τοι ἐσθλὸς ἐὼν χραίσμησεν Ἀχιλλεύς, 837

**Ancient Greek Poetry Selections**

**First Name:**

**Last Name:**

**Ancient Greek HS2**

**Homer**

**Iliad 16.816-42 / CONTINUED**

ὅς πού τοι μάλα πολλὰ μένων ἐπετέλλετ᾽ ἰόντι· 838

μή μοι πρὶν ἰέναι Πατρόκλεες ἱπποκέλευθε 839

νῆας ἔπι γλαφυρὰς πρὶν Ἕκτορος ἀνδροφόνοιο 840

αἱματόεντα χιτῶνα περὶ στήθεσσι δαΐξαι. 841

ὥς πού σε προσέφη, σοὶ δὲ φρένας ἄφρονι πεῖθε. 842

**Ancient Greek Poetry Selections**

**First Name:**

**Last Name:**

**Ancient Greek  HS2**

**Sappho**

**Fragment 31**

Φαίνεταί μοι κῆνος ἴσος θέοισιν 1
ἔμμεν' ὤνηρ, ὄττις ἐνάντιός τοι 2
ἰσδάνει καὶ πλάσιον ἆδυ φωνεί- 3
σας ὐπακούει 4

καὶ γελαίσας ἰμέροεν, τό μ' ἦ μὰν 5
καρδίαν ἐν στήθεσιν ἐπτόαισεν, 6
ὠς γὰρ ἔς σ' ἴδω βρόχε' ὤς με φώναι- 7
σ' οὐδ' ἒν ἔτ' εἴκει, 8

ἀλλ' ἄκαν μὲν γλῶσσα †ἔαγε λέπτον 9
δ' αὔτικα χρῶι πῦρ ὐπαδεδρόμηκεν, 10
ὀππάτεσσι δ' οὐδ' ἒν ὄρημμ', ἐπιρρόμ- 11
βεισι δ' ἄκουαι, 12

καδ δε μ' ἴδρως ψῦχρος έχει, τρόμος δὲ 13
παῖσαν ἄγρει, χλωροτέρα δὲ ποίας 14
ἔμμι, τεθνάκην δ' ὀλίγω 'πιδεύης 15
φαίνομ' ἔμ' αὔται· 16